*συνήθεις, πρὸς αὐτὸν ἐκεῖνον ἁμιλλώμενον καὶ προκατα-
λαμβάνοντα ταῖς κλήσεσιν· εἰ δὲ μή, τῶν ἰδίων φίλων οὓς
ἂν καὶ ἤθελεν αὐτὸς ἑλέσθαι [ὁ δειπνίζων], ἐπιεικὴς ὢν*
B *ἐπιεικεῖς καὶ φιλόλογος φιλολόγους ὄντας ἢ δυνατοὺς
δυνάμενος, πάλαι καὶ ζητῶν ἁμωσγέπως αὐτοῖς ἐν προσ-
ηγορίᾳ καὶ κοινωνίᾳ γενέσθαι. τὸ γὰρ οὕτως ἔχοντι παρα-
δοῦναι καὶ παρασχεῖν ὁμιλίας ἀρχὴν καὶ φιλοφροσύνης
εὔστοχον ἐπιεικῶς καὶ ἀστεῖον· ὁ δ' ἀσυμφύλους καὶ
ἀσυναρμόστους ἐπάγων, οἷον νηπτικῷ πολυπότας καὶ λιτῷ
περὶ δίαιταν [καὶ] ἀκολάστους καὶ πολυτελεῖς ἢ νέῳ πάλιν
ποτικῷ καὶ φιλοπαίγμονι πρεσβύτας σκυθρωποὺς ἢ βαρὺ
φθεγγομένους ἐκ πώγωνος σοφιστάς, ἄκαιρός ἐστιν [ἢ]
ἀηδίᾳ φιλοφροσύνην ἀμειβόμενος. δεῖ γὰρ οὐχ ἧττον ἡδὺν
εἶναι τῷ δειπνίζοντι τὸν κεκλημένον ἢ τῷ κεκλημένῳ τὸν*
C *ὑποδεχόμενον· ἔσται δ' ἡδύς, ἐὰν μὴ μόνον ἑαυτὸν ἀλλὰ
καὶ τοὺς σὺν αὐτῷ καὶ δι' αὐτὸν ἥκοντας ἐπιδεξίους παρ-
έχῃ καὶ προσηνεῖς. Ὅ γε μὴν λοιπὸς ἔτι τῶν τριῶν
οὗτος ὁ καλούμενος ὑφ' ἑτέρου πρὸς ἕτερον τὸ μὲν τῆς
σκιᾶς ἀναινόμενος ὄνομα καὶ δυσχεραίνων ἀληθῶς σκιὰν
δόξει φοβεῖσθαι, δεῖται δὲ πλείστης εὐλαβείας· οὔτε γὰρ
τοῖς τυχοῦσιν ἀκολουθεῖν ἑτοίμως καλὸν οὔθ' ὅπως ἔτυ-
χεν· δεῖ ⟨δὲ⟩ σκοπεῖν πρῶτον τίς ὁ καλῶν ἐστιν. εἰ μὲν
γὰρ οὐ σφόδρα συνήθης, ἀλλὰ [μὴ] τῶν πλουσίων τις ἢ
σατραπικῶν, ὡς ἐπὶ σκηνῆς δορυφορήματος λαμπροῦ δε-
όμενος ἢ πάνυ χαρίζεσθαι τῇ κλήσει πεπεισμένος ⟨καὶ⟩
τιμᾶν, ἐπάγεται, παραιτητέος εὐθύς· εἰ δὲ φίλος καὶ συν-*